# ΜΑΡΚΟΥ ΑΓΓΕΛΟΥ

## ΑΝΕΚΔΟΤΑ ΣΤΙΧΟΥΡΓΗΜΑΤΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Στιχουργήματα καὶ οὐχὶ ποιήματα πρέπει νὰ ὀνομασθῶσι τὰ ἐκδιδόμενα ἐνταῦθα τὸ πρῶτον ἐκ τοῦ κώδικος Phil. Graecus 219 (κατὰ τὴν ἀρίθμησιν τοῦ Nessel) τῆς ἐν Βιέννῃ αὐτοκρατορικῆς βιβλιοθήκης, γεγραμμένου τὸν δέκατον τέταρτον αἰῶνα. Εἶνε δὲ ταῦτα δύο, τὸ μὲν πρῶτον ἀνακρεόντειον εἰς τὸν Ἔρωτα, φέρον ἐπιγραφὴν Μάρκου Ἀγγέλου καὶ γεγραμμένον ἐν τῷ κώδικι κατὰ δύο σελίδας ἐν φ. 140$^{β}$ - 142$^{α}$, τὸ δὲ δεύτερον ἀνεπίγραφον στιχούργημα εἰς αὐτοκράτορά τινα τοῦ Βυζαντίου, περιλαμβανόμενον ἐν φ. 142$^{α}$ τοῦ αὐτοῦ κώδικος. Ἀλλ' ὅτι καὶ τὸ δεύτερον τοῦτο εἶνε ἔργον τοῦ αὐτοῦ Μάρκου Ἀγγέλου γίνεται δῆλον ἐκ τῆς ἐν τῇ ᾤᾳ τοῦ ἀνεπιγράφου τούτου στιχουργήματος ἐπαναλήψεως τῆς αὐτῆς περὶ σταυρὸν μονοκονδυλίας τοῦ ὀνόματος ***Μάρκου*** τῆς ἐπαναλαμβανομένης τρὶς ἐν τῷ εἰς τὸν Ἔρωτα ἀνακρεοντείῳ, ἅπαξ μὲν ἐπὶ κεφαλῆς αὐτοῦ, δὶς δ' ἐν τῇ ᾤᾳ. Τοῦτο δὲ παριδών, καθ' ἃ φαίνεται, ὁ κ. Krumbacher ποιεῖται μνείαν τοῦ βιενναίου κώδικος ὡς περιέχοντος μόνον ἀνακρεόντεια εἰς τὸν Ἔρωτα [1].

Περὶ τοῦ στιχουργήσαντος οὐδὲν γινώσκομέν τι πλέον τοῦ ὀνόματος αὐτοῦ. Πιθανὸν δὲ εἶνε μόνον, ὅτι ἔζησε κατ' αὐτὸν ἐκεῖνον τὸν αἰῶνα, καθ' ὃν εὑρίσκομεν ἀντιγεγραμμένα τὰ στιχουργήματ' αὐτοῦ ἐν τῷ κώδικι τῆς Βιέννης. Ἂν δὲ πιστεύ-

[1] Geschichte der byzantinischen Litteratur σ. 781 σημ. 2. Ἑλλ. μεταφρ. *Γ. Σωτηριάδου* Τόμ. Β' σ. 760.

ΙΩΑΝΝΙΝΑ 2006

σωμεν τοῦτο, τότε δυνάμεθα πιθανῶς νὰ προβῶμεν περαιτέρω διὰ τῆς ἐξετάσεως τοῦ αὐτοκρατορικοῦ ἐγκωμίου. Τὰ ἐν αὐτῷ λεγόμενα περὶ αὐτοκράτορος εὐχερῶς καὶ ἀναιμωτὶ ἀνελθόντος ἐπὶ τὸν πατρικὸν θρόνον καὶ διὰ τῆς βοηθείας τοῦ Χριστοῦ παραλαβόντος τὰ σκῆπτρα τῆς αὐτοκρατορίας, ἐν ᾧ ἐμισεῖτο καὶ ἐζητεῖτο εἰς φόνον, φαίνονται προςαρμοζόμενα ἐκ τῶν Παλαιολόγων εἰς μόνον τὸν Ἰωάννην Α΄, κατισχύσαντα τοῦ τὸν θρόνον κατέχοντος πενθεροῦ Ἰωάννου Καντακουζηνοῦ. Ἂν δὲ ἡ εἰκασία μου αὕτη θεωρηθῇ ὀρθή, τότε τὸν Μᾶρκον Ἄγγελον δυνάμεθα νὰ θεωρήσωμεν ἀκμάσαντα περὶ τοὺς χρόνους τῆς ἀναρρήσεως τοῦ Ἰωάννου Παλαιολόγου, ἤτοι περὶ τὸ 1354.

Ἔχουσι δὲ τὰ δύο στιχουργήματα τοῦ Μάρκου Ἀγγέλου ὧδε κατὰ τὸ ἐν ἔτει 1876 γενόμενον ὑπ᾽ ἐμοῦ ἀντίγραφον.

## ΜΑΡΚΟΥ ΑΓΓΕΛΟΥ

Ἔρως ὁ βαρὺς δυνάστης
τίς τὴν φύσιν εἶ καὶ πόθεν;
ἆρ᾽ ἐξ οὐρανοῦ κατῆλθες,
ἆρ᾽ αἰθὴρ ἐξέφηνέ σε;
Μὴ δ᾽ ἀὴρ ἐξέθρεψέ σε;
ὕδωρ δ᾽ ἐμαιεύσατό σε;
Τί δ᾽; ἐκ γῆς τὴν βλάστην ἔσχες;
Ἢ παρ᾽ οὐδενὸς μὲν τούτων,
οἴκοθεν δ᾽ αὐτὸς βλαστήσας,
οὐρανοῦ μὲν κατωρχήσω,
κατεπύρσευσας δ᾽ αἰθέρα,
τὸν ἀέρα δὲ διέπτης,
ὕδατι δ᾽ ἐπεῖδες λείως,
ἐπὶ γῆς δὲ βάθρον ἔσχες,
ὡς οὐδὲν τῶν ὄντων μέρος
ἄπειρον τῆς σῆς ἰσχύος.

4. ἄρ 5. μήδ᾽ 6. ἐμαιευσατό 7. βλάστιν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀλληλένδετον δὲ σχέσιν
ὡς σειρὰν σοφῶς συμπλέκων
ἐκ τῶν πρώτων καὶ τελείων
καταντᾷς μέχρι τῆς ὕλης.
Οὕτω δὲ σπουδάζεις παίζων
καὶ δραματουργεῖς ἀθύρων
τὴν ἰσχὺν ὅση σοι φαίνων,
ὥςτ' οὐδὲ τἀγγὺς συνείρων
τὸ φιλότιμον μαραίνεις,
οὐδὲ πλέον οἴει φέρει,
εἰ μὴ καὶ τὰ διεστῶτα
καὶ τὴν φύσιν ἐναντία
διὰ πλείστων τῶν ἐν μέσῳ
νύξας πρὸς ἐπιθυμίαν
σὺ μὲν ἔξω πόδα στήσας
καὶ μετέωρος καθήσας
ἐντρυφᾷς οἷς καταπράττεις,
τὰ δ' ἐτώσια μοχθοῦσιν
ἔρον ἀτυχῆ κροτοῦντα.
Τὴν γὰρ δὴ μαγνῆτιν λίθον
τίς οὐκ ἂν ἰδὼν θαυμάσῃ
καὶ τὸν ἄξονα τῆς σφαίρας
πῶς τοσοῦτον ἀφεστῶτα
καὶ μηδὲν ἀλλήλοις ὄντα
κατὰ γένος, κατὰ φύσιν,
κατὰ πάντα λόγον ἄλλον,
φίλτρον τρέφουσιν ἀλλήλοις;
Καὶ τοσαύτη πίστις τούτου·
τὸν γὰρ ἐραστὴν τῆς λίθου,
τὸν ψυχρόν, ἀργὸν τὴν φύσιν
ἔνθερμόν τε καὶ σφριγῶντα
πέλας που φανείσης ταύτης,
ἂν αὐτὴν ἀφέλῃς κρύψας
μετὰ ζήτησιν καὶ στρόμβον

48. δε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸν ὑπὲρ τῆς ἐρωμένης,
ὅτε πάμπαν ἀπελπίσῃ
τὸ μηκέτι ταύτην ἕξειν.
πρὸς τὸν συμπαθῆ λαμπτῆρα,
τὸν τῆς ἐρωμένης φίλον,
συστραφεὶς εὐθὺς, τὸ βλέμμα
τείνει πεπηγὸς ἑδραίως,
ἀντ' ἐκείνης τοῦτον ἔχων
καὶ τὸ πάθος ἀναψύχων.
Πόσαις δὲ βοτάναις ἄλλους
κατεδούλωσας ἀστέρας,
ὥςτε καὶ συμβάλλειν ταύταις
οὐ μικρόν τι μέρος ὅλως
πρὸς τὰς τῶν ἀνθρώπων χρείας,
εἴπερ τις μετ' ἐπιστήμης
χρῷτό γε ταῖς φαρμακείαις,
ταῖς ἀνατολαῖς ἑκάστων,
νῦν μὲν ταύτην τὴν βοτάνην
νῦν δὲ ταύτην ἐκλαμβάνων.
Τὴν δὲ φεραυγῆ σελήνην
τί κοινόν τις ἔχειν φαίη
πρός τε γῆν τὴν δενδροφόρον
καὶ τὴν πολυτρόφον ἅλμην;
Οὐκ ἀμφοῖν ἐξ ἴσου μέντοι.
Ὄστρεα γὰρ ἅλμῃ πάντα
πλήθουσα σελήνη τρέφει,
σπείρει δέ τις καὶ φυτεύει
λήγουσαν τηρῶν σελήνην.
Οὕτω δὲ καινὰ σοφίζῃ,
καὶ τοῦ ξένου πλείων λόγος
παρὰ σοὶ καθέστηκέ πως,
ὥςτ' αὐτὸς σαυτὸν ἀλλάττεις
καὶ Πρωτεύς τις εἶναι σπεύδεις
πρὸς τὰς ξένας ὑπαλλάξεις

66. χρῶτο 75. ὄστρεια

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ φυτὰ φυτοῖς ἐκκαίεις
καὶ πηγαῖς ἐπιγαμβρεύεις
ποταμοὺς μακρόθεν ἕλκων,
τί βουλόμενος, οὐκ οἶδα,
τί καρπούμενος ἐντεῦθεν
ἐκ τῶν ξένων ὑμεναίων
καὶ τῶν ἀπᾳδόντων φίλτρων.
Σοὶ δ' οὐχ ἅλις τούτων μόνων,
καὶ παρανομεῖν δὲ σπεύδεις,
μᾶλλον δ' οὐδὲ σπεύδων ἔρδεις,
ἀλλ' ἔσθ' ὅτε καὶ καθεύδων
τὰ τοιαῦτα διαπλέκεις
καὶ παραχαράττεις φύσεις
ἐκ γενῶν ἀλλοίων πλέκων·
καὶ τραγέλαφός τις ὤφθη
καὶ Βουκέφαλος δὲ πάλιν,
Κένταυρός τε διεπλάσθη
προχωρούσης σοι τῆς τόλμας
καὶ τραγοσκελής τις αὖθις.
Οὕτω σοι τῆς ἀπληστίας
καὶ τῆς παρανομού τόλμας
κόρος οὐδαμῶς ἐς δεῦρο.
Πλάττειν οὐκ αἰδῇ τοιαῦτα
καὶ προφαίνειν μετὰ θράσους,
ἃ φανέντα μᾶλλον αἶσχος
τῷ δημιουργῷ προςοίσει;
Πῶς σού τις καταδραμεῖται,
εἰ μὴ καὶ θαυμάσεταί σε,
ὅταν θαλαμευομένην,
πρὸς πατρὸς νουθετουμένην
πρὸς μητρὸς φυλαττομένην,
ἅβραις περιφρουρουμένην
ἅπαντας λαθὼν εἰςέλθῃς,
δοκιμάσῃς, ψιθυρίσῃς,

90. ὑμενέων 101. δε 105. τόλμης 111. σου τίς 116. αὔραις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φανερῶς προςοίσης πεῖραν,
ἀναπείσης ἀρνουμένην
δέξασθαι λαμπάδα φίλτρου
τῷ ποθοῦντι δ' ὑπεκκαύσης,
ἅπαν ἐκτελέσης ἔργον;
Τί παρεὶς ταῦτ' ἔρδειν, φίλος,
ἔρρειν μετ' ἐκείνων χαίρεις;
Εἴ μοι πείθοιο φιλοῦντι,
πάντ' ἐκεῖνα φράσαι χαίρειν,
ἀσχολήθητι πρὸς ταῦτα.
‖ Φίλτρον οὐδὲν ὡς [ὁ] ἔρως. φ. 142α
εἰ δὲ γυναικὸς ἡδίστης
σίμβλον φιλεργοῦ μελίττης,
εἰ δὲ καὶ καλῆς παρθένου
βέλεμνον ὀξὺ φαρμάσσον,
εἰ δ' ὑπὸ ζυγὸν δαμείσης
πῦρ διῆκον ἐς καρδίαν.
Κήπευέ μοι ταῦτα, φίλος,
καὶ γεώργει καταρδεύων,
δρέπου κοινωνῶν δὲ πᾶσιν
ὅσοις αἴσθησις καὶ λόγος
ὅπως χρὴ τρυγᾶν τὸν κῆπον.
Βάσκανος δ' ἀπίτω δαίμων
τῶν ἐπαφροδίτων δείπνων,
ἄθυρόν τε στόμα πόρρω
τῶν ἐρωτικῶν κρατήρων.

## [ΤΟΥ ΑΥΤΟΥ]

Ἂν τοὺς Ῥωμαίων βασιλεῖς, ἂν τοὺς Ἑλλήνων αὖθις,
τοὺς Αἰγυπτίων, τοὺς Περσῶν, τοὺς ἐφ' ἡμῶν, τοὺς πρώην
καὶ συνελὼν τοὺς ξύμπαντας παράγῃ τις ἐς μέσον,
παραλληλίζειν πρὸς τὸ σὸν τοὺς πάντας θέλων κράτος,
οὐχ εὕροι τὸν ἐφάμιλλον οὐδὲ τὸν ἔγγιστά σοι.

119. προσοίσεις 124. ταῦθ' 126. πόθοιο 136. κήπευε
137. γεωργὸς 138. δε 3. τίς 5. ἐφάμιλον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Επιμ.: Δ.Τ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τοὺς μὲν νικᾷς τῷ σταθερῷ, τοὺς δὲ τῷ φιλανθρώπῳ,
ἑτέρους ῥώμῃ σώματος, ἄλλους ψυχῆς ἀνδρείᾳ.
Τὸ πρὸς τοὺς κόπους ἔντονον ἐθαύμασάν σου πάντες·
ἑτέρων κατεκράτησας τῷ πράῳ καὶ τῇ πίστει,
ἣν ἔχων ἀδιάκριτον, ὥςπερ Χριστός, κελεύει,
καὶ τοῖς μεγίστοις ἐγχειρεῖς, τυγχάνεις τῆς ἐλπίδος.
Ὢ δὲ πολλῷ τὸ μεταξύ, κοινῇ κρατεῖς ἁπάντων.
Οἱ μὲν γὰρ ἄνευ ἔριδος καθ' ἃ πατρῷον κλῆρον,
οἱ δ' ἐμφυλίοις αἵμασι τὴν βασιλείαν ἔσχον,
σὺ δὲ προςήκουσαν αὐτὴν πατρόθεν, ὥςπερ νόμος,
τὴν εὔνοιαν καρπούμενος τῶν ὑπηκόων μόνην,
παντὶ δὲ πολεμούμενος καὶ γένει καὶ τοῖς ἄλλοις
κατέσχες ταύτην εὐμαρῶς, ἀναιμωτί. Τὸ μεῖζον·
καὶ μὴν Χριστός, εἰς ἑαυτοῦ παραδεικνύων τύπον,
ὥςπερ αὐτὸς ἐκ ταπεινοῦ καὶ φάτνης καὶ σπηλαίου,
καίπερ ζητούντων τὴν ψυχὴν αὐτοῦ δεινῶν φονέων,
διέλαμψεν ὡς ἥλιος μέχρι δυσμῶν ἐξ ἕω,
τὸν κόσμον περιέλαβεν εἰς μοναρχίαν μίαν,
οὕτως καὶ σὲ μισούμενον, ζητούμενον εἰς φόνον,
διέσωσεν, ἐκράτυνεν, ὕψωσεν, ὑπερῆρεν,
ἐπιπατεῖν ἐκέλευσεν ὄφεων καὶ σκορπίων,
τὰ σκῆπτρά σοι παρέδωκε τῆς αὐτοκρατορίας.
Ἀλλὰ τὴν αἴγλην ἄνωθεν καὶ τὴν λαμπρότητά σου
καὶ τὰς ἀκτῖνας σκέδασον κατὰ τῶν ὑπηκόων
μετὰ Χριστοῦ φαινόμενος, πάντα χειμῶνα λύων.

---

12. το 13. καθὰ 17. παντί δε 18. κατέσχεν 19. μὴ
27. σκῆπτρα

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006